κοινὸν μαμίαν ψυχῆς, ὥσπερ εἰρήκαμεν· τοῦτον δὲ τὸν τρόπον οὔτε τινὰ τῶν
κατὰ τὴν παλαιὰν, οὔτε τῶν κατὰ τὴν καινὴν πνευματοφορηθέντα
προφήτην δεῖξαι δυνήσονται· οὔτε Ἄγαβον, οὔτε Ἰούδαν· οὔτε Σίλαν·
οὔτε τὰς Φιλίππου θυγατέρας· οὔτε τὴν ἐν Φιλαδελφείᾳ Ἀμμίαν·
οὔτε Κοδρᾶτον· οὔτ' εἰ δή τινας ἄλλους μηδὲν αὐτοῖς προσήκοντας
καυχήσονται· καὶ αὖθις δὲ μετὰ βραχέα ταῦτά φησιν· εἰ γὰρ μετὰ
Κοδρᾶτον καὶ τὴν ἐν Φιλαδελφείᾳ Ἀμμίαν, ὥς φασιν, αἱ περὶ Μοντανὸν
διεδέξαντο γυναῖκες τὸ προφητικὸν χάρισμα· τοὺς ἀπὸ Μοντανοῦ
καὶ τῶν γυναικῶν τίνες παρ' αὐτοῖς διεδέξαντο δειξάτωσαν· δεῖν γὰρ εἶναι
τὸ προφητικὸν χάρισμα ἐν πάσῃ τῇ ἐκκλησίᾳ μέχρι τῆς τελείας πα-
ρουσίας ὁ ἀπόστολος ἀξιοῖ· ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι τεσσαρεσκαιδέκατον
ἤδη που τοῦτ' ἔτος ἀπὸ τῆς Μαξιμίλλης τελευτῆς· οὗτος μὲν δὴ τοσαῦτα·
ὅ γέ τοι πρὸς αὐτοῦ δεδηλωμένος Μιλτιάδης, καὶ ἄλλας ἡμῖν τῆς ἰδίας περὶ τὰ
θεῖα λόγια σπουδῆς μνήμας καταλέλοιπεν, ἔν τε οἷς πρὸς Ἕλληνας συνέταξε λόγοις,
καὶ τοῖς πρὸς Ἰουδαίους, ἑκατέρᾳ ἰδίως ὑποθέσει ἐν δυσὶν ὑπαντήσας
συγγράμμασιν· ἔτι δὲ καὶ πρὸς τοὺς κοσμικοὺς ἄρχοντας, ὑπὲρ ἧς μετῄει φι-

ιϛ ὅσα καὶ Ἀπολλώνιος τοὺς κατὰ Φρύγας ἀπήλεγξε, καὶ τίνων ἐμνημόνευσεν

λοσοφίας, πεποίηται ἀπολογίαν· Τῆς δὲ κατὰ Φρύγας καλουμένης αἱρέσεως,
καὶ Ἀπολλώνιος ἐκκλησιαστικὸς συγγραφεύς, ἀκμαζούσης εἰς ἔτι τότε κατὰ
τὴν Φρυγίαν, ἔλεγχον ἐνστησάμενος, ἴδιον κατ' αὐτῶν πεποίηται σύγγραμ-
μα, τὰς μὲν φερομένας αὐτῶν προφητείας ψευδεῖς οὔσας κατὰ λέξιν εὐθύνων· τὸν δὲ βίον
τῶν τῆς αἱρέσεως ἀρχηγῶν, ὁποῖός τις γέγονε διελέγχων· αὐτοῖς δὲ ῥήμασι περὶ τοῦ
Μοντανοῦ ταῦτα λέγοντος ἄκουε· ἀλλὰ τίς οὗτός ἐστιν ὁ πρόσφατος δι-
δάσκαλος, τὰ ἔργα αὐτοῦ καὶ ἡ διδασκαλία δείκνυσιν· οὗτός ἐστιν ὁ διδάξας
λύσεις γάμων· ὁ νηστείας νομοθετήσας· ὁ Πέπουζαν καὶ Τύμιον Ἱερουσαλὴμ ὀνομάσας·
πόλεις δ' εἰσὶν αὗται μικραὶ τῆς Φρυγίας· τοὺς πανταχόθεν ἐκεῖσε ἐπισυνάγειν
ἐθέλων· ὁ πρακτῆρας χρημάτων καταστήσας· ὁ ἐπ' ὀνόματι προσφορῶν
τὴν δωροληψίαν ἐπιτεχνώμενος· ὁ σαλάρια χορηγῶν τοῖς κηρύσσουσιν αὐτοῦ
τὸν λόγον, ἵνα διὰ τῆς γαστριμαργίας ἡ διδασκαλία τοῦ λόγου κρατύνηται·
καὶ ταῦτα μὲν περὶ τοῦ Μοντανοῦ· καὶ περὶ τῶν προφητίδων δὲ αὐτοῦ ὑποκατιὼν
οὕτω γράφει· δείκνυμεν οὖν αὐτὰς πρώτας τὰς προφήτιδας ταύτας, ἀφ' οὗ
τοῦ πνεύματος ἐπληρώθησαν, τοὺς ἄνδρας καταλιπούσας· πῶς οὖν ἐψεύδοντο
Πρίσκαν παρθένον ἀποκαλοῦντες· εἶτ' ἐπιφέρει λέγων· δοκεῖ σοι πᾶσα γραφὴ
κωλύειν προφήτην λαμβάνειν δῶρα καὶ χρήματα· ὅταν οὖν ἴδω τὴν προφῆτιν